(Ν.) Εἶτα δὴ τί τοῦτ'; :
(ΔΗ.) Ἴσως δεῖ πάντα προσδοκᾶν· σκόπει,
τοῦ τέγους εἴ σοι μέρος τι ῥεῖ. :
(ΝΙ.) Τὸ πλεῖστον. Ἀλλὰ τί
τοῦτο πρὸς ἐκεῖν' ἐστί; :
(ΔΗ.) Τοτὲ μὲν γίνεθ' ὁ Ζεὺς χρυσίον,
τοτὲ δ' ὕδωρ. Ὁρᾷς; ἐκείνου τοὔργον ἐστίν· ὡς ταχὺ
εὕρομεν. :
(ΝΙ.) Καὶ βουκολεῖς με; :
(ΔΗ.) Μὰ τὸν Ἀπόλλω, 'γὼ μὲν οὔ.
Ἀλλὰ χείρων οὐδὲ μικρὸν Ἀκρισίου δήπουθεν εἶ·
εἰ δ' ἐκείνην ἠξίωσε, τήν γε σὴν — :
(ΝΙ.) Οἴμοι τάλας·
Μοσχίων ἐσκεύακέν με. :
(ΔΗ.) Λήψεται μέν, μὴ φοβοῦ
τοῦτο· θεῖον δ' ἔστ', ἀκριβῶς ἴσθι, τὸ γεγενημένον.
Μυρίους εἰπεῖν ἔχω σοι περιπατοῦντας ἐν μέσῳ
ὄντας ἐκ θεῶν· σὺ δ' οἴει δεινὸν εἶναι τὸ γεγονός.
Χαιρεφῶν πρώτιστος οὗτος, ὃν τρέφουσ' ἀσύμβολον,
P. 16 οὐ θεός σοι φαίνετ' εἶναι; :
(ΝΙ.) Φαίνεται· τί γὰρ πάθω;